# ΕΥΑΓΓΕΛΙΟΝ
# ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ

1 Βίβλος[1] γενέσεως[2] Ἰησοῦ χριστοῦ υἱοῦ Δαυεὶδ υἱοῦ Ἀβραάμ. 2 Ἀβραὰμ
ἐγέννησεν τὸν Ἰσαάκ· Ἰσαὰκ δὲ ἐγέννησεν τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἐγέννησεν
τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ· 3 Ἰούδας δὲ ἐγέννησεν τὸν Φαρὲς
καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ· Φαρὲς δὲ ἐγέννησεν τὸν Ἐσρώμ· Ἐσρὼμ δὲ
ἐγέννησεν τὸν Ἀράμ· 4 Ἀρὰμ δὲ ἐγέννησεν τὸν Ἀμιναδάβ· Ἀμιναδὰβ δὲ
ἐγέννησεν τὸν Ναασσών· Ναασσὼν δὲ ἐγέννησεν τὸν Σαλμών· 5 Σαλμὼν
δὲ ἐγέννησεν τὸν Βοὲς ἐκ τῆς Ῥαχάβ· Βοὲς δὲ ἐγέννησεν τὸν Ἰωβὴδ ἐκ
τῆς Ῥούθ· Ἰωβὴδ δὲ ἐγέννησεν τὸν Ἰεσσαί· 6 Ἰεσσαὶ δὲ ἐγέννησεν τὸν
Δαυεὶδ τὸν βασιλέα· Δαυεὶδ δὲ ἐγέννησεν τὸν Σολομῶνα ἐκ τῆς τοῦ
Οὐρίου· 7 Σολομὼν δὲ ἐγέννησεν τὸν Ῥοβοάμ· Ῥοβοὰμ δὲ ἐγέννησεν τὸν
Ἀβιά· Ἀβιὰ δὲ ἐγέννησεν τὸν Ἀσάφ· 8 Ἀσὰφ δὲ ἐγέννησεν τὸν Ἰωσαφάτ·
Ἰωσαφὰτ δὲ ἐγέννησεν τὸν Ἰωράμ· Ἰωρὰμ δὲ ἐγέννησεν τὸν Ὀζείαν·
9 Ὀζείας δὲ ἐγέννησεν τὸν Ἰωάθαμ· Ἰωάθαμ δὲ ἐγέννησεν τὸν Ἄχαζ·
Ἄχαζ δὲ ἐγέννησεν τὸν Ἑζεκίαν· 10 Ἑζεκίας δὲ ἐγέννησεν τὸν Μανασσῆ·
Μανασσῆς δὲ ἐγέννησεν τὸν Ἀμώς· Ἀμὼς δὲ ἐγέννησεν τὸν Ἰωσείαν·
11 Ἰωσείας δὲ ἐγέννησεν τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς
μετοικεσίας[3] Βαβυλῶνος.

12 Μετὰ δὲ τὴν μετοικεσίαν[4] Βαβυλῶνος Ἰεχονίας ἐγέννησεν τὸν Σαλαθιήλ·
Σαλαθιὴλ δὲ ἐγέννησεν τὸν Ζοροβάβελ· 13 Ζοροβάβελ δὲ ἐγέννησεν
τὸν Ἀβιούδ· Ἀβιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλιακείμ· Ἐλιακεὶμ δὲ ἐγέννησεν
τὸν Ἀζώρ· 14 Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ· Σαδὼκ δὲ ἐγέννησεν τὸν
Ἀχείμ· Ἀχεὶμ δὲ ἐγέννησεν τὸν Ἐλιούδ· 15 Ἐλιοὺδ δὲ ἐγέννησεν τὸν
Ἐλεάζαρ· Ἐλεάζαρ δὲ ἐγέννησεν τὸν Ματθάν· Ματθὰν δὲ ἐγέννησεν
τὸν Ἰακώβ· 16 Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας ἐξ ἧς
ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος χριστός.

17 Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυεὶδ γενεαὶ δεκατέσσαρες[5] καὶ
ἀπὸ Δαυεὶδ ἕως τῆς μετοικεσίας[3] Βαβυλῶνος γενεαὶ δεκατέσσαρες[5] καὶ
ἀπὸ τῆς μετοικεσίας[3] Βαβυλῶνος ἕως τοῦ χριστοῦ γενεαὶ δεκατέσσαρες.[5]

18 Τοῦ δὲ Ἰησοῦ χριστοῦ ἡ γένεσις[6] οὕτως ἦν· μνηστευθείσης[7] τῆς μητρὸς
αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν[8] ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ[9]

[1] βίβλος *n nom sg fem* book, scroll; record
[2] γένεσις *n gen sg fem* lineage; birth; existence; life
[3] μετοικεσία *n gen sg fem* deportation
[4] μετοικεσία *n acc sg fem* deportation
[5] δεκατέσσαρες *adj nom pl fem* fourteen
[6] γένεσις *n nom sg fem* birth; existence; life; lineage
[7] μνηστεύω *vb aor pass ptcp, gen sg fem* betroth
[8] πρίν *adv* before
[9] γαστήρ *n dat sg fem* womb; belly

ἔχουσα ἐκ πνεύματος ἁγίου. **19** Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν καὶ
μὴ θέλων αὐτὴν δειγματίσαι,[1] ἐβουλήθη λάθρα[2] ἀπολῦσαι αὐτήν.
**20** Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος[3] ἰδοὺ ἄγγελος κυρίου κατ᾽ ὄναρ[4] ἐφάνη[a]
αὐτῷ λέγων· Ἰωσὴφ υἱὸς Δαυείδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ
τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου.
**21** τέξεται[5] δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει
τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.
**22** Τοῦτο δὲ ὅλον γέγονεν[b] ἵνα πληρωθῇ τὸ ῥηθὲν[c] ὑπὸ κυρίου διὰ τοῦ
προφήτου λέγοντος· **23** ἰδοὺ ἡ παρθένος[6] ἐν γαστρὶ[7] ἕξει[d] καὶ τέξεται[5] υἱόν,
καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστιν μεθερμηνευόμενον·[8]
μεθ᾽ ἡμῶν ὁ θεός.
**24** Ἐγερθεὶς[e] δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου[9] ἐποίησεν ὡς προσέταξεν[10] αὐτῷ ὁ
ἄγγελος κυρίου· καὶ παρέλαβεν τὴν γυναῖκα αὐτοῦ **25** καὶ οὐκ ἐγίνωσκεν
αὐτὴν ἕως οὗ ἔτεκεν[11] υἱόν, καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.
**2** Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρώδου
τοῦ βασιλέως ἰδοὺ μάγοι[12] ἀπὸ ἀνατολῶν[13] παρεγένοντο εἰς Ἱεροσόλυμα
**2** λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς[14] βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ
αὐτοῦ τὸν ἀστέρα[15] ἐν τῇ ἀνατολῇ[16] καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.
**3** Ἀκούσας δὲ ὁ βασιλεὺς Ἡρώδης ἐταράχθη[17] καὶ πᾶσα Ἱεροσόλυμα μετ᾽
αὐτοῦ, **4** καὶ συναγαγὼν[f] πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ
ἐπυνθάνετο[18] παρ᾽ αὐτῶν ποῦ ὁ χριστὸς γεννᾶται. **5** οἱ δὲ εἶπον αὐτῷ·
ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. οὕτως γὰρ γέγραπται διὰ τοῦ προφήτου·
**6** καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς[19] ἐλαχίστη[20] εἶ ἐν τοῖς ἡγεμόσιν[21]
Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται[g] ἡγούμενος ὅστις ποιμανεῖ[22] τὸν λαόν
μου τὸν Ἰσραήλ.

[1] δειγματίζω *vb aor act infin* disgrace, make an example of
[2] λάθρα *adv* secretly
[3] ἐνθυμέομαι *vb aor pass ptcp, gen sg masc* reflect, think
[4] ὄναρ *n acc sg neut* dream
[5] τίκτω *vb 3rd sg, fut mid indic* give birth to, produce
[6] παρθένος *n nom sg fem* virgin
[7] γαστήρ *n dat sg fem* womb; belly
[8] μεθερμηνεύω *vb pres pass ptcp, nom sg neut* translate
[9] ὕπνος *n gen sg masc* sleep
[10] προστάσσω *vb 3rd sg, aor act indic* command, order
[11] τίκτω *vb 3rd sg, aor act indic* give birth to, produce
[12] μάγος *n nom pl masc* wise man, magician
[13] ἀνατολή *n gen pl fem* east; rising
[14] τίκτω *vb aor pass ptcp, nom sg masc* give birth to, produce
[15] ἀστήρ *n acc sg masc* star
[16] ἀνατολή *n dat sg fem* rising; east
[17] ταράσσω *vb 3rd sg, aor pass indic* disturb, stir up
[18] πυνθάνομαι *vb 3rd sg, impf mid indic* inquire; learn by inquiry
[19] οὐδαμῶς *adv* by no means
[20] ἐλάχιστος *adj nom sg fem, superl* least, very small, insignificant
[21] ἡγεμών *n dat pl masc* ruler; governor
[22] ποιμαίνω *vb 3rd sg, fut act indic* shepherd, tend

[a] φαίνω *vb 3rd sg, aor pass indic*
[b] γίνομαι *vb 3rd sg, perf act indic*
[c] λέγω *vb aor pass ptcp, nom sg neut*
[d] ἔχω *vb 3rd sg, fut act indic*
[e] ἐγείρω *vb aor pass ptcp, nom sg masc*
[f] συνάγω *vb aor act ptcp, nom sg masc*
[g] ἐξέρχομαι *vb 3rd sg, fut mid indic*

7 Τότε Ἡρῴδης λάθρα[1] καλέσας τοὺς μάγους[2] ἠκρίβωσεν[3] παρ᾽ αὐτῶν τὸν
χρόνον τοῦ φαινομένου ἀστέρος,[4] 8 καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπεν·
πορευθέντες ἐξετάσατε[5] ἀκριβῶς[6] περὶ τοῦ παιδίου. ἐπὰν[7] δὲ εὕρητε,
ἀπαγγείλατέ[a] μοι ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ.
9 Οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν. καὶ ἰδοὺ ὁ ἀστὴρ[8] ὃν εἶδον
ἐν τῇ ἀνατολῇ[9] προῆγεν[10] αὐτοὺς ἕως ἐλθὼν ἐστάθη ἐπάνω[11] οὗ[12] ἦν τὸ
παιδίον. 10 ἰδόντες δὲ τὸν ἀστέρα[13] ἐχάρησαν[b] χαρὰν μεγάλην σφόδρα,[14]
11 καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς
μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες[c] τοὺς
θησαυροὺς[15] αὐτῶν προσήνεγκαν[d] αὐτῷ δῶρα,[16] χρυσὸν[17] καὶ λίβανον[18]
καὶ σμύρναν.[19] 12 καὶ χρηματισθέντες[20] κατ᾽ ὄναρ[21] μὴ ἀνακάμψαι[22] πρὸς
Ἡρῴδην, δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρησαν[23] εἰς τὴν χώραν αὐτῶν.
13 Ἀναχωρησάντων[24] δὲ αὐτῶν ἰδοὺ ἄγγελος κυρίου φαίνεται κατ᾽ ὄναρ[21] τῷ
Ἰωσὴφ λέγων· ἐγερθεὶς[e] παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ
φεῦγε εἰς Αἴγυπτον καὶ ἴσθι[f] ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης
ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι[g] αὐτό. 14 ὁ δὲ ἐγερθεὶς[e] παρέλαβε τὸ
παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ ἀνεχώρησεν[25] εἰς Αἴγυπτον,
15 καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς[26] Ἡρῴδου, ἵνα πληρωθῇ τὸ ῥηθὲν[h] ὑπὸ
κυρίου διὰ τοῦ προφήτου λέγοντος· ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.
16 Τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη[27] ὑπὸ τῶν μάγων[28] ἐθυμώθη[29] λίαν,[30]

[1] λάθρα *adv* secretly
[2] μάγος *n acc pl masc* wise man, magician
[3] ἀκριβόω *vb 3rd sg, aor act indic* ascertain exactly and thoroughly
[4] ἀστήρ *n gen sg masc* star
[5] ἐξετάζω *vb 2nd pl, aor act impv* search; question
[6] ἀκριβῶς *adv* carefully, accurately, exactly
[7] ἐπάν *conj* when, as soon as
[8] ἀστήρ *n nom sg masc* star
[9] ἀνατολή *n dat sg fem* rising; east
[10] προάγω *vb 3rd sg, impf act indic* go before; bring forth
[11] ἐπάνω *prep* over, on, above, more than
[12] οὗ *adv* where; while
[13] ἀστήρ *n acc sg masc* star
[14] σφόδρα *adv* extremely, very much
[15] θησαυρός *n acc pl masc* treasure; treasury
[16] δῶρον *n acc pl neut* gift
[17] χρυσός *n acc sg masc* gold
[18] λίβανος *n acc sg masc* frankincense
[19] σμύρνα *n acc sg fem* myrrh
[20] χρηματίζω *vb aor pass ptcp, nom pl masc* make known a divine injunction or warning; be called
[21] ὄναρ *n acc sg neut* dream
[22] ἀνακάμπτω *vb aor act infin* return
[23] ἀναχωρέω *vb 3rd pl, aor act indic* go away, withdraw; return
[24] ἀναχωρέω *vb aor act ptcp, gen pl masc* go away, withdraw; return
[25] ἀναχωρέω *vb 3rd sg, aor act indic* go away, withdraw; return
[26] τελευτή *n gen sg fem* death
[27] ἐμπαίζω *vb 3rd sg, aor pass indic* trick; mock
[28] μάγος *n gen pl masc* wise man, magician
[29] θυμόομαι *vb 3rd sg, aor pass indic* be angry
[30] λίαν *adv* exceedingly, excessively

[a] ἀπαγγέλλω *vb 2nd pl, aor act impv*
[b] χαίρω *vb 3rd pl, aor pass indic*
[c] ἀνοίγω *vb aor act ptcp, nom pl masc*
[d] προσφέρω *vb 3rd pl, aor act indic*
[e] ἐγείρω *vb aor pass ptcp, nom sg masc*
[f] εἰμί *vb 2nd sg, pres act impv*
[g] ἀπόλλυμι *vb aor act infin*
[h] λέγω *vb aor pass ptcp, nom sg neut*

καὶ ἀποστείλας[a] ἀνεῖλεν[1] πάντας τοὺς παῖδας[2] τοὺς ἐν Βηθλεὲμ καὶ ἐν
πᾶσιν τοῖς ὁρίοις[3] αὐτῆς ἀπὸ διετοῦς[4] καὶ κατωτέρω[5] κατὰ τὸν χρόνον ὃν
ἠκρίβωσεν[6] παρὰ τῶν μάγων.[7]

**17** Τότε ἐπληρώθη τὸ ῥηθὲν[b] διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· **18** φωνὴ
ἐν Ῥαμᾶ ἠκούσθη, κλαυθμὸς[8] καὶ ὀδυρμὸς[9] πολύς, Ῥαχὴλ κλαίουσα τὰ
τέκνα αὐτῆς, καὶ οὐκ ἤθελεν παρακληθῆναι[c] ὅτι οὐκ εἰσίν.

**19** Τελευτήσαντος[10] δὲ τοῦ Ἡρῴδου ἰδοὺ ἄγγελος κυρίου φαίνεται κατ᾽ ὄναρ[11]
τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ **20** λέγων· ἐγερθεὶς[d] παράλαβε τὸ παιδίον καὶ τὴν
μητέρα αὐτοῦ καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασιν[12] γὰρ οἱ ζητοῦντες
τὴν ψυχὴν τοῦ παιδίου.

**21** Ὁ δὲ ἐγερθεὶς[d] παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ εἰσῆλθεν εἰς
γῆν Ἰσραήλ.

**22** Ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει[13] τῆς Ἰουδαίας ἀντὶ[14] τοῦ πατρὸς
αὐτοῦ Ἡρῴδου ἐφοβήθη ἐκεῖ ἀπελθεῖν. χρηματισθεὶς[15] δὲ κατ᾽ ὄναρ[11]
ἀνεχώρησεν[16] εἰς τὰ μέρη τῆς Γαλιλαίας, **23** καὶ ἐλθὼν κατῴκησεν εἰς
πόλιν λεγομένην Ναζαρέτ, ὅπως πληρωθῇ τὸ ῥηθὲν[b] διὰ τῶν προφητῶν
ὅτι Ναζωραῖος κληθήσεται.[e]

**3** Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς[17] κηρύσσων
ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας **2** καὶ λέγων· μετανοεῖτε· ἤγγικεν[f] γὰρ ἡ
βασιλεία τῶν οὐρανῶν. **3** οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς[g] διὰ Ἠσαΐου τοῦ
προφήτου λέγοντος· φωνὴ βοῶντος[18] ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν
κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους[19] αὐτοῦ.

**4** Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχεν τὸ ἔνδυμα[20] αὐτοῦ ἀπὸ τριχῶν[21] καμήλου[22]

[1] ἀναιρέω *vb 3rd sg, aor act indic* kill, destroy; take up; take away
[2] παῖς *n acc pl masc* boy, child; (male) servant, slave
[3] ὅριον *n dat pl neut* region, boundary
[4] διετής *adj gen sg masc* two years old
[5] κατωτέρω *adv, compar* lower, under
[6] ἀκριβόω *vb 3rd sg, aor act indic* ascertain exactly and thoroughly
[7] μάγος *n gen pl masc* wise man, magician
[8] κλαυθμός *n nom sg masc* weeping
[9] ὀδυρμός *n nom sg masc* mourning
[10] τελευτάω *vb aor act ptcp, gen sg masc* die
[11] ὄναρ *n acc sg neut* dream
[12] θνήσκω *vb 3rd pl, perf act indic* die
[13] βασιλεύω *vb 3rd sg, pres act indic* reign, be king, become king
[14] ἀντί *prep* in place of, for, instead of, because of
[15] χρηματίζω *vb aor pass ptcp, nom sg masc* make known a divine injunction or warning; be called
[16] ἀναχωρέω *vb 3rd sg, aor act indic* withdraw, go away; return
[17] βαπτιστής *n nom sg masc* baptizer, ritual washer
[18] βοάω *vb pres act ptcp, gen sg masc* shout
[19] τρίβος *n acc pl fem* path
[20] ἔνδυμα *n acc sg neut* clothing
[21] θρίξ *n gen pl fem* hair
[22] κάμηλος *n gen sg fem* camel

[a] ἀποστέλλω *vb aor act ptcp, nom sg masc*
[b] λέγω *vb aor pass ptcp, nom sg neut*
[c] παρακαλέω *vb aor pass infin*
[d] ἐγείρω *vb aor pass ptcp, nom sg masc*
[e] καλέω *vb 3rd sg, fut pass indic*
[f] ἐγγίζω *vb 3rd sg, perf act indic*
[g] λέγω *vb aor pass ptcp, nom sg masc*

καὶ ζώνην[1] δερματίνην[2] περὶ τὴν ὀσφῦν[3] αὐτοῦ· ἡ δὲ τροφὴ[4] ἦν αὐτοῦ
ἀκρίδες[5] καὶ μέλι[6] ἄγριον.[7]
5 Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ
περίχωρος[8] τοῦ Ἰορδάνου, 6 καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ποταμῷ[9] ὑπ᾽
αὐτοῦ ἐξομολογούμενοι[10] τὰς ἁμαρτίας αὐτῶν.
7 Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ
βάπτισμα[11] αὐτοῦ εἶπεν αὐτοῖς· γεννήματα[12] ἐχιδνῶν,[13] τίς ὑπέδειξεν[14]
ὑμῖν φυγεῖν[a] ἀπὸ τῆς μελλούσης ὀργῆς; 8 ποιήσατε οὖν καρπὸν ἄξιον
τῆς μετανοίας.[15] 9 καὶ μὴ δόξητε[b] λέγειν ἐν ἑαυτοῖς· πατέρα ἔχομεν τὸν
Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι
τέκνα τῷ Ἀβραάμ.
10 Ἤδη δὲ ἡ ἀξίνη[16] πρὸς τὴν ῥίζαν[17] τῶν δένδρων[18] κεῖται.[19] πᾶν οὖν
δένδρον[20] μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται[21] καὶ εἰς πῦρ βάλλεται.
11 ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν,[22] ὁ δὲ ὀπίσω μου
ἐρχόμενος ἰσχυρότερός μου ἐστὶν οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα[23]
βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· 12 οὗ
τὸ πτύον[24] ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ[25] τὴν ἅλωνα[26] αὐτοῦ
καὶ συνάξει[c] τὸν σῖτον[27] αὐτοῦ εἰς τὴν ἀποθήκην,[28] τὸ δὲ ἄχυρον[29]
κατακαύσει[30] πυρὶ ἀσβέστῳ.[31]
13 Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς
τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ. 14 ὁ δὲ Ἰωάννης διεκώλυεν[32]
αὐτὸν λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός

[1] ζώνη *n acc sg fem* belt, sash
[2] δερμάτινος *adj acc sg fem* leather
[3] ὀσφῦς *n acc sg fem* waist, loins
[4] τροφή *n nom sg fem* food
[5] ἀκρίς *n nom pl fem* locust
[6] μέλι *n nom sg neut* honey
[7] ἄγριος *adj nom sg neut* wild
[8] περίχωρος *adj nom sg fem* surrounding region
[9] ποταμός *n dat sg masc* river
[10] ἐξομολογέω *vb pres mid ptcp, nom pl masc* confess, profess; consent; praise, thank
[11] βάπτισμα *n acc sg neut* baptism, ritual washing
[12] γέννημα *n voc pl neut* offspring
[13] ἔχιδνα *n gen pl fem* snake
[14] ὑποδείκνυμι *vb 3rd sg, aor act indic* show, prove
[15] μετάνοια *n gen sg fem* repentance, change of mind
[16] ἀξίνη *n nom sg fem* axe
[17] ῥίζα *n acc sg fem* root; shoot; source
[18] δένδρον *n gen pl neut* tree
[19] κεῖμαι *vb 3rd sg, pres mid indic* lie, recline; exist, be appointed for
[20] δένδρον *n nom sg neut* tree
[21] ἐκκόπτω *vb 3rd sg, pres pass indic* cut down, cut off
[22] μετάνοια *n acc sg fem* repentance, change of mind
[23] ὑπόδημα *n acc pl neut* sandal
[24] πτύον *n nom sg neut* winnowing fork
[25] διακαθαρίζω *vb 3rd sg, fut act indic* clean thoroughly, purify thoroughly
[26] ἅλων *n acc sg fem* threshing floor; threshed grain
[27] σῖτος *n acc sg masc* grain
[28] ἀποθήκη *n acc sg fem* barn, storehouse
[29] ἄχυρον *n acc sg neut* chaff
[30] κατακαίω *vb 3rd sg, fut act indic* burn up
[31] ἄσβεστος *adj dat sg neut* inextinguishable
[32] διακωλύω *vb 3rd sg, impf act indic* prevent

[a] φεύγω *vb aor act infin*
[b] δοκέω *vb 2nd pl, aor act subj*
[c] συνάγω *vb 3rd sg, fut act indic*

με; **15** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν· ἄφες[a] ἄρτι· οὕτω γὰρ
πρέπον[1] ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. τότε ἀφίησιν[b] αὐτόν.
**16** Βαπτισθεὶς δὲ ὁ Ἰησοῦς εὐθὺς ἀνέβη[c] ἀπὸ τοῦ ὕδατος. καὶ ἰδοὺ
ἀνεῴχθησαν[d] αὐτῷ οἱ οὐρανοί, καὶ εἶδεν τὸ πνεῦμα τοῦ θεοῦ καταβαῖνον
ὡσεὶ[2] περιστερὰν[3] καὶ ἐρχόμενον ἐπ᾽ αὐτόν. **17** καὶ ἰδοὺ φωνὴ ἐκ τῶν
οὐρανῶν λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα.[4]
**4** Τότε ὁ Ἰησοῦς ἀνήχθη[5] εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος πειρασθῆναι
ὑπὸ τοῦ διαβόλου. **2** καὶ νηστεύσας[6] ἡμέρας τεσσεράκοντα[7] καὶ νύκτας
τεσσεράκοντα[7] ὕστερον[8] ἐπείνασεν.[9] **3** καὶ προσελθὼν ὁ πειράζων εἶπεν
αὐτῷ· εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.[e]
**4** Ὁ δὲ ἀποκριθεὶς εἶπεν· γέγραπται· οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος,
ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ.
**5** Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν καὶ ἔστησεν
αὐτὸν ἐπὶ τὸ πτερύγιον[10] τοῦ ἱεροῦ **6** καὶ λέγει αὐτῷ· εἰ υἱὸς εἶ τοῦ θεοῦ,
βάλε[f] σεαυτὸν κάτω·[11] γέγραπται γὰρ ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται[12]
περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσίν[g] σε μήποτε[13] προσκόψῃς[14] πρὸς λίθον
τὸν πόδα σου. **7** ἔφη αὐτῷ ὁ Ἰησοῦς· πάλιν γέγραπται· οὐκ ἐκπειράσεις[15]
κύριον τὸν θεόν σου.
**8** Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν[16] λίαν[17] καὶ
δείκνυσιν[h] αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν
**9** καὶ εἶπεν αὐτῷ· ταῦτά σοι πάντα δώσω,[i] ἐὰν πεσὼν προσκυνήσῃς μοι.
**10** Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ὕπαγε σατανᾶ· γέγραπται γάρ· κύριον τὸν θεόν
σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις.[18] **11** τότε ἀφίησιν[b] αὐτὸν ὁ
διάβολος, καὶ ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ.
**12** Ἀκούσας δὲ ὅτι Ἰωάννης παρεδόθη ἀνεχώρησεν[19] εἰς τὴν Γαλιλαίαν.

[1] πρέπω *vb pres act ptcp, nom sg neut* be fitting
[2] ὡσεί *conj* like, as, approximately
[3] περιστερά *n acc sg fem* dove, pigeon
[4] εὐδοκέω *vb 1st sg, aor act indic* be pleased
[5] ἀνάγω *vb 3rd sg, aor pass indic* lead up, bring up; offer up; bring before; put out to sea
[6] νηστεύω *vb aor act ptcp, nom sg masc* fast
[7] τεσσεράκοντα *adj acc pl fem* forty
[8] ὕστερος *adj acc sg neut, compar* later; second, latter; last
[9] πεινάω *vb 3rd sg, aor act indic* be hungry; hunger for
[10] πτερύγιον *n acc sg neut* pinnacle, tip, highest point
[11] κάτω *adv* down; below; at the bottom
[12] ἐντέλλομαι *vb 3rd sg, fut mid indic* command, order
[13] μήποτε *conj* lest, lest perhaps
[14] προσκόπτω *vb 2nd sg, aor act subj* strike against; stumble; take offense at
[15] ἐκπειράζω *vb 2nd sg, fut act indic* test, tempt
[16] ὑψηλός *adj acc sg neut* high, proud
[17] λίαν *adv* exceedingly, excessively
[18] λατρεύω *vb 2nd sg, fut act indic* serve, worship
[19] ἀναχωρέω *vb 3rd sg, aor act indic* withdraw, go away; return

[a] ἀφίημι *vb 2nd sg, aor act impv*
[b] ἀφίημι *vb 3rd sg, pres act indic*
[c] ἀναβαίνω *vb 3rd sg, aor act indic*
[d] ἀνοίγω *vb 3rd pl, aor pass indic*
[e] γίνομαι *vb 3rd pl, aor mid subj*
[f] βάλλω *vb 2nd sg, aor act impv*
[g] αἴρω *vb 3rd pl, fut act indic*
[h] δείκνυμι *vb 3rd sg, pres act indic*
[i] δίδωμι *vb 1st sg, fut act indic*

**13** καὶ καταλιπὼν[1] τὴν Ναζαρά, ἐλθὼν κατῴκησεν εἰς Καφαρναοὺμ τὴν
παραθαλασσίαν[2] ἐν ὁρίοις[3] Ζαβουλὼν καὶ Νεφθαλείμ, **14** ἵνα πληρωθῇ
τὸ ῥηθὲν[a] διὰ Ἠσαΐου τοῦ προφήτου λέγοντος· **15** γῆ Ζαβουλὼν καὶ γῆ
Νεφθαλείμ, ὁδὸν θαλάσσης πέραν[4] τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν,
**16** ὁ λαὸς ὁ καθήμενος ἐν σκοτίᾳ[5] φῶς εἶδεν μέγα, καὶ τοῖς καθημένοις ἐν
χώρᾳ καὶ σκιᾷ[6] θανάτου φῶς ἀνέτειλεν[7] αὐτοῖς.

**17** Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν· μετανοεῖτε· ἤγγικεν[b] γὰρ
ἡ βασιλεία τῶν οὐρανῶν.

**18** Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν δύο ἀδελφούς,
Σίμωνα τὸν λεγόμενον Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ
βάλλοντας ἀμφίβληστρον[8] εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλεεῖς.[9] **19** καὶ
λέγει αὐτοῖς· δεῦτε[10] ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλεεῖς[11] ἀνθρώπων.
**20** οἱ δὲ εὐθέως ἀφέντες[c] τὰ δίκτυα[12] ἠκολούθησαν αὐτῷ.

**21** Καὶ προβὰς[13] ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον τὸν τοῦ
Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου
τοῦ πατρὸς αὐτῶν καταρτίζοντας[14] τὰ δίκτυα[12] αὐτῶν, καὶ ἐκάλεσεν
αὐτούς. **22** οἱ δὲ εὐθέως ἀφέντες[c] τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν
ἠκολούθησαν αὐτῷ.

**23** Καὶ περιῆγεν[15] ὁ Ἰησοῦς ἐν ὅλῃ τῇ Γαλιλαίᾳ διδάσκων ἐν ταῖς συναγωγαῖς
αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν
νόσον[16] καὶ πᾶσαν μαλακίαν[17] ἐν τῷ λαῷ.

**24** Καὶ ἀπῆλθεν ἡ ἀκοὴ[18] αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ προσήνεγκαν[d]
αὐτῷ πάντας τοὺς κακῶς[19] ἔχοντας, ποικίλαις[20] νόσοις[21] καὶ βασάνοις[22]
συνεχομένους,[23] δαιμονιζομένους[24] καὶ σεληνιαζομένους[25] καὶ

[1] καταλείπω *vb aor act ptcp, nom sg masc* leave, leave behind
[2] παραθαλάσσιος *adj acc sg fem* by the sea, by the lake
[3] ὅριον *n dat pl neut* region, boundary
[4] πέραν *prep* beyond, on the other side of
[5] σκοτία *n dat sg fem* darkness
[6] σκιά *n dat sg fem* shadow, shade
[7] ἀνατέλλω *vb 3rd sg, aor act indic* rise; cause to rise; be a descendant
[8] ἀμφίβληστρον *n acc sg neut* casting net
[9] ἁλεεύς *n nom pl masc* fisherman
[10] δεῦτε *adv* (come) here!
[11] ἁλεεύς *n acc pl masc* fisherman
[12] δίκτυον *n acc pl neut* net
[13] προβαίνω *vb aor act ptcp, nom sg masc* go ahead, advance
[14] καταρτίζω *vb pres act ptcp, acc pl masc* restore, make complete; prepare, create
[15] περιάγω *vb 3rd sg, impf act indic* go around; lead around
[16] νόσος *n acc sg fem* disease
[17] μαλακία *n acc sg fem* sickness, weakness
[18] ἀκοή *n nom sg fem* report, rumor; hearing; listening; ear
[19] κακῶς *adv* badly; wrongly
[20] ποικίλος *adj dat pl fem* various; deceitful
[21] νόσος *n dat pl fem* disease
[22] βάσανος *n dat pl fem* torture, torment
[23] συνέχω *vb pres pass ptcp, acc pl masc* afflict, seize; stop up; hold in custody; press hard; occupy with; control
[24] δαιμονίζομαι *vb pres mid ptcp, acc pl masc* be demon possessed
[25] σεληνιάζομαι *vb pres mid ptcp, acc pl masc* be an epileptic; have seizures

[a] λέγω *vb aor pass ptcp, nom sg neut*
[b] ἐγγίζω *vb 3rd sg, perf act indic*
[c] ἀφίημι *vb aor act ptcp, nom pl masc*
[d] προσφέρω *vb 3rd pl, aor act indic*

παραλυτικούς·[1] καὶ ἐθεράπευσεν αὐτούς. 25 καὶ ἠκολούθησαν αὐτῷ
ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ
Ἰουδαίας καὶ πέραν[2] τοῦ Ἰορδάνου.

5 Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη[a] εἰς τὸ ὄρος, καὶ καθίσαντος αὐτοῦ προσῆλθαν
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. 2 καὶ ἀνοίξας[b] τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς
λέγων·

3 Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.
4 Μακάριοι οἱ πενθοῦντες,[3] ὅτι αὐτοὶ παρακληθήσονται.[c]
5 Μακάριοι οἱ πραεῖς,[4] ὅτι αὐτοὶ κληρονομήσουσιν[5] τὴν γῆν.
6 Μακάριοι οἱ πεινῶντες[6] καὶ διψῶντες[7] τὴν δικαιοσύνην, ὅτι αὐτοὶ
χορτασθήσονται.[8]
7 Μακάριοι οἱ ἐλεήμονες,[9] ὅτι αὐτοὶ ἐλεηθήσονται.
8 Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.
9 Μακάριοι οἱ εἰρηνοποιοί,[10] ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.[d]
10 Μακάριοι οἱ δεδιωγμένοι[e] ἕνεκεν[11] δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία
τῶν οὐρανῶν.
11 Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν[12] ὑμᾶς καὶ διώξωσιν[f] καὶ εἴπωσιν
πᾶν πονηρὸν καθ᾽ ὑμῶν ψευδόμενοι[13] ἕνεκεν[11] ἐμοῦ. 12 χαίρετε καὶ
ἀγαλλιᾶσθε,[14] ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως γὰρ
ἐδίωξαν[g] τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.
13 Ὑμεῖς ἐστε τὸ ἅλας[15] τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας[15] μωρανθῇ,[16] ἐν τίνι
ἁλισθήσεται;[17] εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθὲν[h] ἔξω καταπατεῖσθαι[18]
ὑπὸ τῶν ἀνθρώπων.
14 Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις κρυβῆναι[19] ἐπάνω[20]
ὄρους κειμένη·[21] 15 οὐδὲ καίουσιν[22] λύχνον[23] καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν

[1] παραλυτικός *adj acc pl masc* paralyzed
[2] πέραν *prep* beyond, on the other side of
[3] πενθέω *vb pres act ptcp, nom pl masc* mourn
[4] πραΰς *adj nom pl masc* gentle, humble
[5] κληρονομέω *vb 3rd pl, fut act indic* inherit; acquire
[6] πεινάω *vb pres act ptcp, nom pl masc* be hungry; hunger for
[7] διψάω *vb pres act ptcp, nom pl masc* be thirsty
[8] χορτάζω *vb 3rd pl, fut pass indic* satisfy, feed
[9] ἐλεήμων *adj nom pl masc* merciful, having pity
[10] εἰρηνοποιός *adj nom pl masc* peacemaker
[11] ἕνεκα *prep* for the sake of, because of
[12] ὀνειδίζω *vb 3rd pl, aor act subj* reproach
[13] ψεύδομαι *vb pres mid ptcp, nom pl masc* lie
[14] ἀγαλλιάω *vb 2nd pl, pres mid impv* exult, be extremely joyful
[15] ἅλας *n nom sg neut* salt
[16] μωραίνω *vb 3rd sg, aor pass subj* make tasteless; make foolish
[17] ἁλίζω *vb 3rd sg, fut pass indic* salt
[18] καταπατέω *vb pres pass infin* trample
[19] κρύπτω *vb aor pass infin* hide
[20] ἐπάνω *prep* on, over, above, more than
[21] κεῖμαι *vb pres mid ptcp, nom sg fem* lie, recline; exist, be appointed for
[22] καίω *vb 3rd pl, pres act indic* set on fire, burn
[23] λύχνος *n acc sg masc* lamp

[a] ἀναβαίνω *vb 3rd sg, aor act indic*
[b] ἀνοίγω *vb aor act ptcp, nom sg masc*
[c] παρακαλέω *vb 3rd pl, fut pass indic*
[d] καλέω *vb 3rd pl, fut pass indic*
[e] διώκω *vb perf pass ptcp, nom pl masc*
[f] διώκω *vb 3rd pl, aor act subj*
[g] διώκω *vb 3rd pl, aor act indic*
[h] βάλλω *vb aor pass ptcp, nom sg neut*

μόδιον[1] ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν,[2] καὶ λάμπει[3] πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. **16** οὕτως
λαμψάτω[4] τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων ὅπως ἴδωσιν ὑμῶν τὰ
καλὰ ἔργα καὶ δοξάσωσιν τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.
**17** Μὴ νομίσητε[5] ὅτι ἦλθον καταλῦσαι[6] τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον
καταλῦσαι[6] ἀλλὰ πληρῶσαι. **18** ἀμὴν γὰρ λέγω ὑμῖν· ἕως ἂν παρέλθῃ ὁ
οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα[7] ἓν ἢ μία κεραία[8] οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου
ἕως ἂν πάντα γένηται.
**19** Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων[9] καὶ διδάξῃ[a]
οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος[10] κληθήσεται[b] ἐν τῇ βασιλείᾳ τῶν
οὐρανῶν. ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ,[a] οὗτος μέγας κληθήσεται[b] ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν. **20** λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ
δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς
τὴν βασιλείαν τῶν οὐρανῶν.
**21** Ἠκούσατε ὅτι ἐρρήθη[c] τοῖς ἀρχαίοις·[11] οὐ φονεύσεις·[12] ὃς δ᾽ ἂν φονεύσῃ,[13]
ἔνοχος[14] ἔσται τῇ κρίσει· **22** ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος[15] τῷ
ἀδελφῷ αὐτοῦ ἔνοχος[14] ἔσται τῇ κρίσει· ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ·
ῥακά,[16] ἔνοχος[14] ἔσται τῷ συνεδρίῳ·[17] ὃς δ᾽ ἂν εἴπῃ· μωρέ,[18] ἔνοχος[14]
ἔσται εἰς τὴν γέενναν[19] τοῦ πυρός.
**23** Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν[20] σου ἐπὶ τὸ θυσιαστήριον[21] κἀκεῖ[22]
μνησθῇς[23] ὅτι ὁ ἀδελφός σου ἔχει τί κατὰ σοῦ, **24** ἄφες[d] ἐκεῖ τὸ δῶρόν[20]
σου ἔμπροσθεν τοῦ θυσιαστηρίου[24] καὶ ὕπαγε, πρῶτον διαλλάγηθι[25] τῷ
ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν[20] σου.

[1] μόδιος *n acc sg masc* basket, bushel (dry measure)
[2] λυχνία *n acc sg fem* lampstand
[3] λάμπω *vb 3rd sg, pres act indic* shine
[4] λάμπω *vb 3rd sg, aor act impv* shine
[5] νομίζω *vb 2nd pl, aor act subj* think, consider
[6] καταλύω *vb aor act infin* destroy; put an end to; find lodging
[7] ἰῶτα *n nom sg neut* iota
[8] κεραία *n nom sg fem* hook, stroke
[9] ἐλάχιστος *adj gen pl fem, superl* least, very small, insignificant
[10] ἐλάχιστος *adj nom sg masc, superl* least, very small, insignificant
[11] ἀρχαῖος *adj dat pl masc* ancient, old
[12] φονεύω *vb 2nd sg, fut act indic* murder
[13] φονεύω *vb 3rd sg, aor act subj* murder
[14] ἔνοχος *adj nom sg masc* liable, guilty; subject
[15] ὀργίζομαι *vb pres mid ptcp, nom sg masc* be angry, become angry
[16] ῥακά *n voc sg masc* rhaka, "fool" (Aramaic)
[17] συνέδριον *n dat sg neut* council; Sanhedrin
[18] μωρός *adj voc sg masc* foolish
[19] γέεννα *n acc sg fem* hell, Gehenna
[20] δῶρον *n acc sg neut* gift
[21] θυσιαστήριον *n acc sg neut* altar
[22] κἀκεῖ *conj* and there; there also
[23] μιμνήσκομαι *vb 2nd sg, aor pass subj* remember; mention
[24] θυσιαστήριον *n gen sg neut* altar
[25] διαλλάσσομαι *vb 2nd sg, aor pass impv* be reconciled

[a] διδάσκω *vb 3rd sg, aor act subj*
[b] καλέω *vb 3rd sg, fut pass indic*
[c] λέγω *vb 3rd sg, aor pass indic*
[d] ἀφίημι *vb 2nd sg, aor act impv*

25 Ἴσθι[a] εὐνοῶν[1] τῷ ἀντιδίκῳ[2] σου ταχὺ[3] ἕως ὅτου εἶ μετ᾽ αὐτοῦ ἐν τῇ ὁδῷ,
μήποτέ[4] σε παραδῷ[b] ὁ ἀντίδικος[5] τῷ κριτῇ,[6] καὶ ὁ κριτὴς[7] τῷ ὑπηρέτῃ,[8]
καὶ εἰς φυλακὴν βληθήσῃ.[c] **26** ἀμὴν λέγω σοι· οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως
ἂν ἀποδῷς[d] τὸν ἔσχατον κοδράντην.[9]
27 Ἠκούσατε ὅτι ἐρρήθη·[e] οὐ μοιχεύσεις.[10] **28** ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ
βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι[11] αὐτὴν ἤδη ἐμοίχευσεν[12] αὐτὴν
ἐν τῇ καρδίᾳ αὐτοῦ. **29** εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε,
ἔξελε[13] αὐτὸν καὶ βάλε[f] ἀπὸ σοῦ· συμφέρει[14] γάρ σοι ἵνα ἀπόληται[g] ἓν τῶν
μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ[h] εἰς γέενναν.[15]
30 Καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον[16] αὐτὴν καὶ βάλε[f] ἀπὸ σοῦ·
συμφέρει[14] γάρ σοι ἵνα ἀπόληται[g] ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά
σου εἰς γέενναν[15] ἀπέλθῃ.
31 Ἐρρήθη[e] δέ· ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω[i] αὐτῇ ἀποστάσιον.[17]
**32** ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς[18]
λόγου πορνείας[19] ποιεῖ αὐτὴν μοιχευθῆναι·[20] καὶ ὃς ἐὰν ἀπολελυμένην
γαμήσῃ, μοιχᾶται.[21]
33 Πάλιν ἠκούσατε ὅτι ἐρρήθη[e] τοῖς ἀρχαίοις·[22] οὐκ ἐπιορκήσεις,[23] ἀποδώσεις[j]
δὲ τῷ κυρίῳ τοὺς ὅρκους[24] σου. **34** ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι[k] ὅλως,[25]
μήτε ἐν τῷ οὐρανῷ ὅτι θρόνος ἐστὶν τοῦ θεοῦ, **35** μήτε ἐν τῇ γῇ ὅτι
ὑποπόδιόν[26] ἐστιν τῶν ποδῶν αὐτοῦ, μήτε εἰς Ἱεροσόλυμα ὅτι πόλις
ἐστὶν τοῦ μεγάλου βασιλέως, **36** μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς[l] ὅτι οὐ

[1] εὐνοέω *vb pres act ptcp, nom sg masc* come to terms, be favorable
[2] ἀντίδικος *n dat sg masc* legal opponent
[3] ταχύς *adj acc sg neut* quick, fast
[4] μήποτε *conj* lest, lest perhaps
[5] ἀντίδικος *n nom sg masc* legal opponent
[6] κριτής *n dat sg masc* judge
[7] κριτής *n nom sg masc* judge
[8] ὑπηρέτης *n dat sg masc* assistant, servant
[9] κοδράντης *n acc sg masc* quadrans (Roman copper coin)
[10] μοιχεύω *vb 2nd sg, fut act indic* commit adultery
[11] ἐπιθυμέω *vb aor act infin* desire
[12] μοιχεύω *vb 3rd sg, aor act indic* commit adultery
[13] ἐξαιρέω *vb 2nd sg, aor act impv* tear out, take out; rescue
[14] συμφέρω *vb 3rd sg, pres act indic* be better, be useful; bring together
[15] γέεννα *n acc sg fem* hell, Gehenna
[16] ἐκκόπτω *vb 2nd sg, aor act impv* cut off, cut down
[17] ἀποστάσιον *n acc sg neut* divorce notice
[18] παρεκτός *prep* apart from, except for
[19] πορνεία *n gen sg fem* sexual immorality
[20] μοιχεύω *vb aor pass infin* commit adultery
[21] μοιχάομαι *vb 3rd sg, pres mid indic* commit adultery
[22] ἀρχαῖος *adj dat pl masc* ancient, old
[23] ἐπιορκέω *vb 2nd sg, fut act indic* swear falsely; break an oath
[24] ὅρκος *n acc pl masc* oath
[25] ὅλως *adv* at all; actually
[26] ὑποπόδιον *n nom sg neut* footstool

[a] εἰμί *vb 2nd sg, pres act impv*
[b] παραδίδωμι *vb 3rd sg, aor act subj*
[c] βάλλω *vb 2nd sg, fut pass indic*
[d] ἀποδίδωμι *vb 2nd sg, aor act subj*
[e] λέγω *vb 3rd sg, aor pass indic*
[f] βάλλω *vb 2nd sg, aor act impv*
[g] ἀπόλλυμι *vb 3rd sg, aor mid subj*
[h] βάλλω *vb 3rd sg, aor pass subj*
[i] δίδωμι *vb 3rd sg, aor act impv*
[j] ἀποδίδωμι *vb 2nd sg, fut act indic*
[k] ὀμνύω *vb aor act infin*
[l] ὀμνύω *vb 2nd sg, aor act subj*

δύνασαι μίαν τρίχα[1] λευκὴν[2] ποιῆσαι ἢ μέλαιναν.[3] **37** ἔστω δὲ ὁ λόγος
ὑμῶν ναὶ ναί, οὒ οὔ· τὸ δὲ περισσὸν[4] τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.
**38** Ἠκούσατε ὅτι ἐρρέθη·[a] ὀφθαλμὸν ἀντὶ[5] ὀφθαλμοῦ καὶ ὀδόντα[6] ἀντὶ[5] ὀδόντος.[7]
**39** ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι[8] τῷ πονηρῷ. ἀλλ᾽ ὅστις σε ῥαπίζει[9] εἰς
τὴν δεξιὰν σιαγόνα,[10] στρέψον[11] αὐτῷ καὶ τὴν ἄλλην· **40** καὶ τῷ θέλοντί σοι
κριθῆναι καὶ τὸν χιτῶνά[12] σου λαβεῖν, ἄφες[b] αὐτῷ καὶ τὸ ἱμάτιον· **41** καὶ
ὅστις σε ἀγγαρεύσει[13] μίλιον[14] ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο. **42** τῷ αἰτοῦντί σε
δός,[c] καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανίσασθαι[15] μὴ ἀποστραφῇς.[16]
**43** Ἠκούσατε ὅτι ἐρρέθη·[a] ἀγαπήσεις τὸν πλησίον[17] σου καὶ μισήσεις τὸν ἐχθρόν
σου. **44** ἐγὼ δὲ λέγω ὑμῖν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε
ὑπὲρ τῶν διωκόντων ὑμᾶς, **45** ὅπως γένησθε[d] υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν
οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει[18] ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ
βρέχει[19] ἐπὶ δικαίους καὶ ἀδίκους.[20] **46** ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας
ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι[21] τὸ αὐτὸ ποιοῦσιν; **47** καὶ ἐὰν
ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον, τί περισσὸν[22] ποιεῖτε; οὐχὶ καὶ οἱ
ἐθνικοὶ[23] τὸ αὐτὸ ποιοῦσιν; **48** ἔσεσθε οὖν ὑμεῖς τέλειοι[24] ὡς ὁ πατὴρ ὑμῶν
ὁ οὐράνιος[25] τέλειός[26] ἐστιν.

**6** Προσέχετε[27] τὴν δικαιοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων
πρὸς τὸ θεαθῆναι[28] αὐτοῖς· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ
ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς.
**2** Ὅταν οὖν ποιῇς ἐλεημοσύνην,[29] μὴ σαλπίσῃς[30] ἔμπροσθέν σου, ὥσπερ

[1] θρίξ *n acc sg fem* hair
[2] λευκός *adj acc sg fem* white, bright
[3] μέλας *adj acc sg fem* black
[4] περισσός *adj nom sg neut* more; extraordinary; abundant, superfluous
[5] ἀντί *prep* for, in place of, instead of, because of
[6] ὀδούς *n acc sg masc* tooth
[7] ὀδούς *n gen sg masc* tooth
[8] ἀνθίστημι *vb aor act infin* oppose; resist
[9] ῥαπίζω *vb 3rd sg, pres act indic* slap, beat
[10] σιαγών *n acc sg fem* cheek
[11] στρέφω *vb 2nd sg, aor act impv* turn; return
[12] χιτών *n acc sg masc* tunic, shirt
[13] ἀγγαρεύω *vb 3rd sg, fut act indic* force, press into service
[14] μίλιον *n acc sg neut* mile (Roman mile, about 4850 feet or 1.5 kilometers)
[15] δανείζω *vb aor mid infin* borrow (mid.); lend
[16] ἀποστρέφω *vb 2nd sg, aor pass subj* turn away; turn; mislead; reject; return, put back
[17] πλησίον *adv* neighbor (subst.); near
[18] ἀνατέλλω *vb 3rd sg, pres act indic* cause to rise; rise; be a descendant
[19] βρέχω *vb 3rd sg, pres act indic* rain; wet
[20] ἄδικος *adj acc pl masc* unjust
[21] τελώνης *n nom pl masc* tax collector
[22] περισσός *adj acc sg neut* more; extraordinary; abundant, superfluous
[23] ἐθνικός *adj nom pl masc* Gentile, pagan
[24] τέλειος *adj nom pl masc* perfect, complete; initiated
[25] οὐράνιος *adj nom sg masc* heavenly
[26] τέλειος *adj nom sg masc* perfect, complete; initiated
[27] προσέχω *vb 2nd pl, pres act impv* beware, pay attention; devote oneself to
[28] θεάομαι *vb aor pass infin* see
[29] ἐλεημοσύνη *n acc sg fem* alms, charitable giving
[30] σαλπίζω *vb 2nd sg, aor act subj* sound the trumpet

[a] λέγω *vb 3rd sg, aor pass indic*
[b] ἀφίημι *vb 2nd sg, aor act impv*
[c] δίδωμι *vb 2nd sg, aor act impv*
[d] γίνομαι *vb 2nd pl, aor mid subj*